# *ΑΝΑΧΑΡΣΙΣ Η ΠΕΡΙ ΓΥΜΝΑΣΙΩΝ*

1 *ΑΝΑΧΑΡΣΙΣ.* Ταῦτα δὲ ὑμῖν, ὦ Σόλων, τίνος ἕνεκα
οἱ νέοι ποιοῦσιν; οἱ μὲν αὐτῶν περιπλεκόμενοι ἀλλήλους
ὑποσκελίζουσιν, οἱ δὲ ἄγχουσι καὶ λυγίζουσι καὶ ἐν τῷ
πηλῷ συναναφύρονται κυλινδούμενοι ὥσπερ σύες. καίτοι
κατ᾽ ἀρχὰς εὐθὺς ἀποδυσάμενοι – ἑώρων γάρ – λίπα
τε ἠλείψαντο καὶ κατέψησε μάλα εἰρηνικῶς ἅτερος τὸν
ἕτερον ἐν τῷ μέρει, μετὰ δὲ οὐκ οἶδ᾽ ὅ τι παθόντες ὠθοῦσί
τε ἀλλήλους συννενευκότες καὶ τὰ μέτωπα συναράττουσιν
ὥσπερ οἱ κριοί. καὶ ἤν ἰδοὺ ἀράμενος ἐκεινοσὶ τὸν ἕτερον
ἐκ τοῖν σκελοῖν ἀφῆκεν ἐς τὸ ἔδαφος, εἶτ᾽ ἐπικαταπεσὼν
ἀνακύπτειν οὐκ ἐᾷ, συνωθῶν κάτω ἐς τὸν πηλόν· τέλος
δὲ ἤδη περιπλέξας αὐτῷ τὰ σκέλη κατὰ τὴν γαστέρα
τὸν πῆχυν ὑποβαλὼν τῷ λαιμῷ ἄγχει τὸν ἄθλιον, ὁ δὲ
παρακροτεῖ ἐς τὸν ὦμον, ἱκετεύων οἶμαι, ὡς μὴ τέλεον
ἀποπνιγείη. καὶ οὐδὲ τοῦ ἐλαίου ἕνεκα φείδονται μὴ
μολύνεσθαι, ἀλλ᾽ ἀφανίσαντες τὸ χρῖσμα καὶ τοῦ βορβόρου
ἀναπλησθέντες ἐν ἱδρῶτι ἅμα πολλῷ γέλωτα ἐμοὶ γοῦν
παρέχουσιν ὥσπερ αἱ ἐγχέλυες ἐκ τῶν χειρῶν διολισθαί-
2 νοντες. ἕτεροι δὲ ἐν τῷ αἰθρίῳ τῆς αὐλῆς τὸ αὐτὸ τοῦτο
δρῶσιν, οὐκ ἐν πηλῷ οὗτοί γε, ἀλλὰ ψάμμον ταύτην
βαθεῖαν ὑποβαλλόμενοι ἐν τῷ ὀρύγματι πάττουσί τε
ἀλλήλους καὶ αὐτοὶ ἑκόντες ἐπαμῶνται τὴν κόνιν ἀλεκ-
τρυόνων δίκην, ὡς ἀφυκτότεροι εἶεν ἐν ταῖς συμπλοκαῖς,
οἶμαι, τῆς ψάμμου τὸν ὄλισθον ἀφαιρούσης καὶ βεβαιοτέ-
3 ραν ἐν ξηρῷ παρεχούσης τὴν ἀντίληψιν. οἱ δὲ ὀρθοστάδην



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403921546/60 UNIVERSITÄT LEIPZIG